UNIVERSITÄTS
BIBLIOTHEK
WUPPERTAL

BERGISCHE
UNIVERSITÄT
WUPPERTAL

# Universitätsbibliothek Wuppertal

## Demosthenis Et Aeschinis, Principum Græciæ Oratorum Opera

### Demosthenes

### Aureliae Allobrogum, 1607

Orationis Contra Aristocratem enarratio

**Nutzungsrichtlinien** Das dem PDF-Dokument zugrunde liegende Digitalisat kann unter Beachtung des Lizenz-/Rechtehinweises genutzt werden. Informationen zum Lizenz-/Rechtehinweis finden Sie in der Titelaufnahme unter dem untenstehenden URN.
Bei Nutzung des Digitalisats bitten wir um eine vollständige Quellenangabe, inklusive Nennung der Universitätsbibliothek Wuppertal als Quelle sowie einer Angabe des URN.

urn:nbn:de:hbz:468-1-1565

Visual Library

ἵνα δὲ μὴ τῆς εὐποιΐας δελεασθῶσιν οἱ ἀκούοντες τοῖς ὀνόμασι καὶ ταῖς λέξεσιν, ὅρα πῶς διαβέβληκεν αὐτά. πρῶτον μὲν ἴσως εἰπὼν, καὶ διστάζοντα ποιήσας. εἶτα ὑπόνοιαν, οὐ πιστὸν φήσας εἶναι τὸ πρᾶγμα. καὶ τὸ ὡρμηκότα δὲ, ἄλογον καὶ εὐμετακίνητον γνώμην ἐμφαίνει. οἱ γὰρ οὐ κρίναντες καὶ μελετήσαντες, ἀλλ' ἐκ προπετείας ὁρμήσαντες, ἀθρόως καὶ μεταβάλλονται. οὐ μὴν ἀλλὰ καὶ τοῦ βουλομένου τι ποιεῖν ἀγαθὸν, συνέστειλε τὴν ἐλπίδα. οὐ γὰρ εἶπεν ἀγαθὰ πολλὰ, ἀλλά τι ἀγαθόν.

ἐγὼ δ', ὦ ἄνδρες Ἀθηναῖοι, θεάσασθε.) καλῶς αὐτοὺς εἰς κοινωνίαν ἄγει τῶν λογισμῶν, καὶ οὐκ αὐτὸς ἰδίᾳ τὰ δοκοῦντα ἀποφαίνεται. ἀνυστικώτερον μὲν γὰρ τοῦτο, φιλονεικότερον δὲ ἐκεῖνο.

ἐπειδὴ δὲ καὶ φενακίζων.) ἐκ τοῦ ἐναντίου λοιπόν. εἰ γὰρ καὶ μεγάλα ἐπιδείξεται ἀγαθὰ, οὐδ' οὕτως ἐπιορκητέον. πόσῳ γε μᾶλλον ἀπατῶντι καὶ μηδὲν ἀληθὲς πράττοντι, λέγοντι μὴ προσεκτέον, ὠφελήσει γὰρ τὸ καταψηφίζεσθαι οὕτως. ἢ γὰρ ἀποστήσεται τοῦ ἀπατᾶν, μαθὼν ὡς λαθεῖν οὐ δυνήσεται. ἢ τῇ ἀληθείᾳ πρὸς ὑμᾶς οἰκείως ἂν διατεθείη.

ἄξιον τοίνυν ὦ ἄνδρες Ἀθηναῖοι.) πλείστην οἰκειότητα ἔχει πρὸς τὴν ὑπόθεσιν ἡ παρέκβασις τοῖς παραδείγμασι τοῖς ἐπὶ τῶν προγόνων χρωμένη. διδάσκει γὰρ μὴ δεῖν τοσαύτας παρέχειν δωρεὰς, καὶ ὅσοι πολῖται τύχοιεν ὄντες, καὶ ὅσοι ξένοι. ἵνα ἐξ ἀμφοτέρων δείξῃ τὸ μὴ δοῦναι καλόν. ἐν οἵᾳ γὰρ αὐτὸν μερίδι τάξεις, ἁμαρτάνεις διδούς. πρῶτον μὲν τοίνυν ἐκεῖνο.) Θεμιστοκλέα προέταξεν ἀναγκαίως. τὸ γὰρ τῶν πολιτῶν μέρος, καὶ τάγμα προτιμότερον.

οὐκ ἄρα τοῖς ἀγαθόν τι ποιοῦσιν.) ἵνα μή τις ὑπολάβοι λέγειν αὐτὸν ἀχαρίστους εἶναι τοὺς προγόνους, θαρσῶν ἀπαντᾷ. εἶτα κρατύνει τῇ κατασκευῇ τὸ ῥηθέν. καὶ φοβούμενος τοὺς ἀπιστοῦντας, ἐφέλκεται εἰς συγκατάθεσιν, εἰπών. σωφρονοῦσιν ἀνθρώποις καὶ πρὸς ἀλήθειαν βελτίοσιν οὖσι ταῦτα ἀρέσκειν μᾶλλον, ἢ χαλκῆν εἰκόνα, καὶ τὰς λοιπὰς δωρεάς.

τὰς δὲ τῶν ξένων πῶς.) πληρώσας τὸ περὶ τῶν πολιτῶν μέρος, καὶ δείξας ἐν αὐτῷ πολλὴν οὖσαν τῶν νῦν πρὸς τὰ παλαιὰ διαφορὰν, ἐπάγει τοὺς ξένους.

ἀριοβαρζάνην ἐκεῖνον.) τὴν πίστιν τῶν εἰρημένων, ἐκ παραδειγμάτων ἔδειξεν. ἀριοβαρζάνην τὸν πέρσην τιμήσαντες, οὐκ ἔστησαν μέχρι τούτου τὴν χάριν. ἀλλὰ καὶ φιλίσκον καὶ ἀγαυόν. ἀπορῶν δὲ πρᾶξιν ἄτοπον εἰπεῖν αὐτῶν, ἀπὸ τῆς γνώμης διαβέβληκε μισαθηναιοτάτους εἰπών. πάλιν τιμοθέου.) ἑτέρα παραδείγματος ἀπόδειξις. ὅτι δι' αὐτὸν τετίμηται φρασικλείδης καὶ πολυσθένης, ὧν ἡ διαβολὴ καὶ ἀπὸ τύχης, οὐδὲ ἐλευθέρους. καὶ ἀπὸ τρόπου, ὀλεθρίους.

ἀλλὰ καὶ τοῦτ' ἐξελήλυθεν ἐκ τῆς πόλεως.) σφόδρα ἐμφαντικῶς εἶπεν, οἱονεὶ ἀπεδήμησε καὶ κατέλιπε τὴν πόλιν. λέγω δὲ τοὺς ἁμαρτάνοντας. εἶτα πάλιν παράθεσις * καὶ περὶ τοῦτο τῶν προγόνων, ὡς καὶ περὶ τοῦ τιμᾶν ἐποίησεν ἀνωτέρω.

A Ne verò auditores beneficentiæ vocabulis inescarētur, vide vt ea eleuarit: primùm, fortasse dicendo, & dubium faciendo. Deinde suspicionem adiungendo, rem non esse fide dignam. quia & verbum Incitatū, brutum & mutabilem animum indicat. Qui enim citra iudiciùm & impræmeditati aliquid instituunt, facilimè mutantur. Quin illud etiam: si vellet aliquod conferre beneficium: contraxit spem. non enim dixit multa beneficia, sed aliquod beneficium.

Ego verò, Athenienses, spectate.) Bene eos in communem adducit ratiocinationem, & non ipse solus seorsim suam sententiam declarat. Nam hoc contētiosius, illud efficacius est.

Postquam autem & decipiendo.) Iam è contrario, Nam tametsi magna esset beneficia daturus, ne sic quidem esset peierandum: quanto minus ei auscultandum est decipienti, & nihil veri vel agenti, vel dicenti? Nam eius condemnatio proderit. Aut enim facere imposturam desinet: vbi intellexerit, se non posse latere: aut reuera vobis amicus erit.

B Operæpreciu n igitur est, Athenienses.) Valde cōiuncta est cum causa hæc digressio, quæ maiorum exemplis vtitur. Docet enim non tot danda esse munera, siue qui ciues sint, siue hospites: vt vtrinq. ostēdat, non dare esse pulchrum. In vtra enim parte eum collocaris, peccabis.

Primum igitur illud.) Themistoclem necessariò præposuit, quia pars & ordo ciuium est potior.

Ergo benemeritis nihil.) Ne quis existimaret, eum dicere ingratos fuisse maiores, fidenter occurrit. Deinde confirmat ratione id quod dictum est, & quia metuit ne diffidant, eos in sententiam trahit, his verbis: Modestis hominibus, & reuera melioribus, hæc placent magis quàm æreæ statuæ, & reliqua dona. Hospitum autem quomodo.) Absoluta ciuium parte, & ostenso, quantum inter præsentia & vetera iit discrimen: subiicit hospites.

C Ariobarzanem illum.) Fidem eorum quæ dicta sūt, exemplis ostendit. Ariobarzani Persæ honore habito, non in eo grati esse destiterunt, sed & Agauum & Philiscum honorarunt. Et quia nihil de eis dicere absurdi potuit, ab animo eos perstringit, Atheniensium inimicissimos appellando.

Rursus Timotheo.) Altera exempli demonstratio, ob eum honos habitus est Phrasicridi & Polystheni, quos perstringit à fortuna, ne ingenuos quidem: à moribus, pestilentes appellando.

Sed & hoc egressum est vrbem.) Valde significanter dixit: quasi dicat, peregrè abiit, reliquit vrbem.

Delinquentes, inquam.) Iterum hic quoque collationē maiorum addit. vt suprà & in honoribus fecit.

At quanta suspiria ducerent.) Hic incipit causæ propria peroratio, cum grauitate & vehemētia, forma commiserationis.

An non enim turpe est, cum Æginetæ.) Argumentum à * reditibus, & ignominioso.

Cur tandem? quas cepit naues?) Personæ Charidemi criminatio.

Quas cepit naues?) Tertia pars enumerationis tractata est instar perorationis: atque in ea eorum quæ de legitimo capite dicta sunt, breuiter commonet iudices, vt statim, antequam obliuiscantur, suffragia ferant.

καίτοι πηλίκοντί ποτ' ἂν στενάξαιεν.) ἐντεῦθεν λοιπὸν οἰκεῖος τῆς ὑποθέσεως ἐπίλογος. μετὰ βαρύτητος καὶ σφοδρότητος ἐν τύπῳ ἐλεεινολογίας.

πῶς γὰρ οὐκ αἰσχρὸν αἰγινήτας μέν.) τὸ ἐπιχείρημα ἀπὸ τῶν προσόδων καὶ τοῦ ἀδόξου.

ὅτι τί. ποίας εἷλε ναῦς.) τῆς ποιότητος τοῦ χαριδήμου διαβολή. ποίας γὰρ εἷλε ναῦς, καὶ τὰ ἑξῆς. τρίτον δὲ μέρος εἴργασται τῆς ἀνακεφαλαιώσεως ἐπιλογικόν. ἐν ᾧ τῶν εἰρημένων ἐν τῷ νομίμῳ συντόμως ἀναμιμνήσκει τοὺς δικαστὰς, ὥστε φέρειν εὐθὺς τὴν ψῆφον οὐκ ἐπιλελησμένους.